πράγματα μέγιστα ἰδιῶται ἤκουον· τρίτον ἐκ τοῦ χρόνου, ὅτι ἐν ὀλίγῳ χρόνῳ ἔλεγον· πρὸς κλεψύδραν γὰρ ἔλεγον· εἰ τοίνυν καὶ πρὸς ἰδιώτας περὶ μεγίστων πραγμάτων ἔλεγον καὶ ἐν ὀλίγῳ χρόνῳ ἐπειρῶντο πείθειν, οὐκ ἐπιστημονική. εἰκὸς μὲν γάρ ἐστιν καὶ ἰδιώτας πεισθῆναι, ἀλλ' οὐκ ἐν ὀλίγῳ χρόνῳ δυνατὸν αὐτοὺς ἐπιστήμονας γενέσθαι, ἀλλὰ πλείονος χρεία, ὥστε οὐκ ἤσκει διδασκαλικὴν πειθώ· ἄξιον δὲ ἀπορῆσαι, διὰ τί μεμφόμεθα τῇ ῥητορικῇ ὡς μὴ οὔσῃ διδασκαλικῇ· εἰ γὰρ αἱ ἀποδείξεις καὶ αἱ ἐπιστῆμαι τῶν καθόλου εἰσίν, αὕτη δὲ περὶ τὰ καθέκαστα καταγίνεται, εἰκότως οὐκ ἔστι διδασκαλικὴ ἀλλὰ πιστευτική· φαμὲν ὅτι καὶ αἱ περὶ τὰ καθέκαστα καταγινόμενοι οὐ δύνανται κεχρῆσθαι συλλογισμοῖς, οἱ δὲ συλλογισμοὶ οὐ δύνανται ἐκ δύο μερικῶν προτάσεων εἶναι, ἀλλὰ πάντως ἡ μία καθολικὴ θέλει εἶναι, οἷον· ὁ δεῖνα κλέπτης, πᾶς κλέπτης ἄδικος· ἰδοὺ ἡ καθόλου· ὁ δεῖνα ἄρα ἄδικος. ἔδει οὖν καὶ αὐτοὺς καθολικῇ προτάσει κεχρῆσθαι· οὐκ ἠδύναντο δέ, ἐπειδὴ πρὸς ἰδιώτας ἔχοντες οὕτω ποιοῦνται τοὺς λόγους.

3 p. 454 b. καὶ περὶ τούτων ἅ ἐστι δίκαιά τε καὶ ἄδικα.

δικαίων καὶ ἀδίκων μόνον ἐμνημόνευσεν ἐάσας τὸ καλὸν καὶ τὸ συμφέρον, ἐπειδὴ μάλιστα ἡ ῥητορικὴ περὶ τὸ δίκαιον καὶ ἄδικον καταγίνεται.

p. 454 b. καὶ ἐγώ τοι ὑπώπτευον.

4 ἤδη εἰρήκαμεν, ὅτι οὐ δεῖ τὸν προσδιαλεγόμενον προαρπάζειν καὶ λέγειν τῷ ἄλλῳ, ὅτι οἶδα, τί θέλεις εἰπεῖν, ἐπεὶ εἰ θελήσοι ἐλέγξαι, ἑαυτὸν ἐλέγχει καὶ οὐκ ἄλλον· ὃ οὖν λέγει ὁ Σωκράτης, τοῦτό ἐστιν· ὑπώπτευον καὶ ᾔδειν, ὅτι τοῦτο ἔχεις εἰπεῖν, ἀλλ' οὐ προεῖπον, ἵνα καὶ σὺ φυλάξῃς μοι τοῦτο καὶ μὴ προαρπάσῃς τὰ ἐμά· οὐ γὰρ διὰ σὲ ταῦτα λέγω, ἀλλὰ βούλομαι τὸ μέλλον καλῶς περανθῆναι.

1 mg. γ' 7 mg. ἀπορία 11 mg. λύσις

5 εἰκὸς μὲν ς εἰ κοσμεῖν M 12 οὐ supr. lin. add. M[c] 24 τὸν] -ν supr. lin. add. M[c]